λοῦσι τὸν Κλέωνα. τουτέστι τὸν ταράξαντα τὸ πλῆθος A
τὸ ἱππικόν. τοῦτο δὲ εἶπεν ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοί, καὶ πολεμεῖν. ἢ ἵνα τὸν Κλέωνα δείξῃ διὰ πάντων λυμαινόμενον τὴν πόλιν. διαφθείροντα μὲν τὸ ἱππικόν, σφετεριζόμενον δὲ τοὺς φόρους. ἔκθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας ἑτέρων εἰσιόντων ὑπόκειται. οἱ δὲ στίχοι, τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λζ. ὧν τελευταῖος, τὸ τέμαχος οὗ Περικλῆς οὐκ ἠξιώθη πώποτε. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. Καὶ τελώνην.] διεβέβλητο τὸ τοῦ τελώνου ὄνομα, ὡς καὶ τοῦ Κλέωνος ὄντος τελώνου, καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος. φάραγξ δέ, τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει. τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ. χάρυβδιν δὲ ἁρπαγῆς, ὡς πᾶν ὁτιοῦν ἁρπάζοντα. Φάραγγα.] τὸ τῆς γῆς βάραθρον. ὃ ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται. τοῦτο δέ, διὰ τὸ κακόφωνον τοῦ Κλέωνος. καὶ τὸ κράζειν ὡς ἐπὶ τῶν πετρῶν τὰ κύματα.

B

Καὶ βδελύττου. καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα,
Εὐλαβοῦ δέ, μή ’κφύγῃ σε, καὶ γὰρ οἶδε τὰς ὁδούς,
Ἅπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

*Persequere ipsum, exterre, conturba, auersatur nos enim.*
*Immine illi, clamita: caue, ne effugiat: Nam vias*
*Nouit, quibus effugit Eucrates rectà sub furfures.*

Σχόλια. Κἀπικείμενος.] ἀντὶ τοῦ τύπτων αὐτόν. διὰ δὲ Κλέωνα τοῦτο πάλιν λέγεται. ἐπειδὴ κεκράκτης ἦν. Οἶδε τὰς ὁδούς.] ἐπίσταται φησὶ τὰς καταδύσεις Εὐκράτους τὰς ἐπὶ τὰ κυρήβια. κυρήβια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν. μυλῶνας δὲ ἔχων ὁ Εὐκράτης, εἰκότως εἶχε καὶ κυρήβια. ἐκωμῴδησεν οὖν εὐκαίρως αὐτόν, ὡς μυλωνάρχην, καὶ ὡς πρὸ αὐτοῦ πολιτευσάμενον καὶ πεφευγότα. τινὲς δέ, ὅτι ἦν μύλων ἀρχή. C Κυρηβίων.] ἔνθα αἱ κάγχρυς φρύγονται. κάγχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαί, ἀφ’ ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ καὶ σὺ κυρηβιοπῶλα Εὐκράτες στύπαξ.

---

Bisetus. Κλέων ὑπὸ τοῦ Ἀγορακρίτου τυπτόμενος τοὺς γέροντας ἡλιαστὰς ἑαυτῷ βοηθήσοντας ἐπικαλεῖ. οὗτοι δὲ αὐτὸν διὰ τὰς αὐτοῦ πανουργίας, καὶ διὰ τὰς ἀδικίας δικαίως τύπτεσθαι, καὶ ζημιοῦσθαι λέγουσι, καὶ οὐδένα αὐτοῦ παιομένου λόγον ποιοῦνται, ἀλλ’ αὐτῷ ἐπεγγελῶσι.

D

Κλ. Ὦ γέροντες ἡλιασταί, φράτορες τριωβόλου,
Οὓς ἐγὼ βόσκω, κεκραγὼς καὶ δίκαια κἄδικα,
Παραβοηθεῖθ’, ὡς ὑπ’ ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
Χο. Ἐν δίκῃ γ’. ἐπεὶ τὰ κοινά, πρὶν λαχεῖν, κατεσθίεις,
Κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν, E
Ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων.
Κἤν τιν’ αὐτῶν γνῷς ἀπράγμον’ ὄντα καὶ κεχηνότα,
Καταγαγὼν ἐκ Χερρονήσου διαβαλὼν ἀγκυρίσας,
Εἶτ’ ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας. F
Καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,

*CL. O trioboli vos contribules, iudices senes,*
*Quos ego pasco, æqua & iniqua clamitans, opem mihi*
*Ferte, subuenite mihi, qui à coniuratis verberor.*
*CH. Meritò: quia Repub. prius deuoras, quàm accipis:*
*Et ficulneus cùm sis, quoscunque reos vides, premis,*
*Quicunque illorum est crudus, seu sit pepo, siue non pepo.*
*Tum si noras simplicem & oscitantem ex ipsis quempiam,*
*Hunc tu è Cherroneso eductum, & oppressum calumnijs,*
*Supplantâsti, & auerso humero deglutiuisti: sed &*
*Ciues obseruas, qui simplices sunt, quique diuites*

Σχόλια. Ὦ γέροντες ἡλιασταί.] τοῦτο ὁ Κλέων λέγει. καὶ αὐτοὺς ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. Ἡλιαία γὰρ μέγιστον δικαστήριον Ἀθήνησιν. οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρίναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφε, συγγενεῖς δὲ εἶπε τριωβόλου, διὰ προσῳκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φρατρίας G μετέχοντες, διὰ πατριᾶς τινός. ὁ γοῦν Ὅμηρος αὐτὴν πάτραν λέγει. ἦν μὲν γ’ ἀμφοτέροισιν ὁμὸν γένος ἠδ’ ἴα πάτρη. καὶ κατὰ ἀναφορὰν πάτρη καλεῖται. μεταπέπτωκε δὲ τὰ στοιχεῖα. καθάπερ ἐπὶ τοῦ δε. ὁ φράτριος Ζεὺς καὶ ὁ πάτριος. τὸ δὲ τριώβολον ἡμιδραχμιόν ἐστιν. Ἡλιαῖον δὲ καλεῖται, διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι, καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς. Οὓς ἐγὼ βόσκω.] πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζώων τίθεται. τὸ δὲ δίκαια κἄδικα, διὰ ἐκ δικαίου. Ξυνωμοτῶν.] ξυνωμοσίας πεποιημένων. τουτέστι πίστεις δι’ ὅρκων διδόντων αὐτοῖς, καὶ συνθήκας κατ’ ἐμοῦ πεποιηκότων. ἄλλως. προδοτῶν τοῦ δήμου. τῶν συνομοσιωτῶν ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου. Πρὶν λαχεῖν.] πρὶν χειροτονηθῆναι. πρὶν κληρωθῆναι. πρὸ διανομῆς φησιν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.